Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

X. Quod historia haec necessaria & ad formandos mores utilis sit.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A eum mittebant, ejuſque notitiam atq; amicitiam plurimi æſtimabant. Adeò ut eum in ſua quiſque provincia partim imaginibus, partim ſtatuis publicè dedicatis honoraret: ſolúſque ex Imperatoribus Conſtantinus, ubique terrarum notiſſimus eſſet ac celeberrimus. Igitur ad has uſque gentes regiis allocutionibus Deum ſuum cum omni libertate prædicavit.

αὐτὸν γνῶσίν τε καὶ φιλίαν περὶ πλείστου ποιουμένους. ὥστε καὶ γραφαῖς εἰκόνων αὐτὸν παρ' αὐτοῖς τιμᾶν, ἀνδριάντων τε ἀναθήμασι, μόνον τε αὐτοκρατόρων παρὰ τοῖς πᾶσι Κωνσταντῖνον γνωρίζεσθαί τε καὶ βοᾶσθαι. ὁ δὲ καὶ μέχρι τῶνδε, βασιλικοῖς προσφωνήμασι τὸν ἑαυτοῦ Θεὸν ἀνεκήρυττε σὺν παρρησίᾳ τῇ πάσῃ.

## Caput IX.

*Quòd pii Imperatoris filius Imperium filiis reliquit.*

B Ceterùm non id verbis quidem præſtitit, re autem ipſa fruſtratus eſt. Sed in omni genere virtutis ſemet exercens, variis pietatis fructibus abundavit; amicos quidem ingentibus beneficiis ſibi devinciens; ſubditos verò clementię legibus moderans, & Imperium ſuum placidum cunctis atque optabile exhibens. Donec poſt longa annorum curricula, Deus quem coluerat, variis illum certaminibus defeſſum immortalitatis præmiis remuneratus, ex mortali regno ad immortalem vitam ſanctis animis apud ſe præparatam tranſtulit; C trium liberorum ſobole, qui in Imperio ei ſuccederent, excitata. In hunc igitur modum Imperialis dignitas à patre quidem tranſmiſſa ad ipſum pervenit; jure autem naturæ liberis ac nepotibus ſervata, & in perpetuum deinceps tanquam paterna quædam hæreditas propagata eſt. Ac Deus quidem ipſe qui beatiſſimum illum Principem adhuc nobiſcum in terris agentem divinis honoribus ſublimavit, eundémque morientem eximia quadam prærogativa dignitatis ornavit, ſolus vitæ illius Scriptor fuerit idoneus; quippe qui certamina illius réſque præclarè geſtas in cæleſtibus tabulis conſecraverit.

## ΚΕΦΑΛΑΙΟΝ Θ'.

*Ὅτι υἱὸς βασιλέως εὐσεβοῦς, καὶ υἱοῖς βασιλεῦσι κατέλιπε τὴν ἀρχήν.*

Εἴτ' οὐ λόγοις μὲν ταῦτ' ἔπραττεν, ἀφυστέρει δὲ τοῖς ἔργοις· διὰ πάσης δὲ χωρῶν ἀρετῆς παντοίοις εὐσεβείας καρποῖς ἐνηβρύνετο. μεγαλοψύχοις μὲν εὐεργεσίαις τοὺς γνωρίμους καταδουλούμενος. κρατῶν δὲ νόμοις φιλανθρωπίας, εὔληπτόν τε τὴν ἀρχὴν καὶ πολυπόθητον ἅπασι τοῖς ἀρχομένοις κατεργαζόμενος. εἰσότε λοιπὸν μακραῖς περιόδοις ἐτῶν κεκμηκότα αὐτὸν θείοις ἄθλων ἀγῶσι, βραβείοις ἀθανασίας ὃν ἐτίμα Θεὸς ἀναδησάμενος, θνητῆς ἐκ βασιλείας ἐπὶ τὴν παρ' αὐτῷ ψυχαῖς ὁσίαις τεταμιευμένην ἀτελεύτητον ζωὴν μετεστήσατο. τριττὴν παίδων γονὴν τῆς ἀρχῆς διάδοχον ἐγείρας. οὕτω δὴ καὶ θρόνος τῆς βασιλείας πατρόθεν μὲν εἰς αὐτὸν κατήει. θεσμῷ δὲ φύσεως, παισὶ καὶ τοῖς τούτων ἐγγόνοις ἐταμιεύετο. εἰς ἀγήρω τε χρόνου διατριβὴν πατρῷος ἐμηκύνετο κλῆρος. Θεὸς μὲν οὖν αὐτὸν καὶ σὺν ἡμῖν ἔτι ὄντα τὸν μακάριον θεοπρεπέσιν ὑψώσας τιμαῖς, καὶ τελευτῶντα κοσμήσας ἐξαιρέτοις τοῖς παρ' αὐτοῦ πλεονεκτήμασι, γένοιτ' ἂν αὐτοῦ καὶ γραφεύς. πλαξὶν οὐρανίων στηλῶν τοὺς τῶν αὐτοῦ κατορθωμάτων ἄθλους ἀναθείς.

## Caput X.

*Quòd hiſtòria hæc neceſſaria, & ad formandos mores utilis ſit.*

D Ego verò tametſi tanti quidem viri felicitate dignum quidpiam dicere difficile admodum eſſe intelligam, ſilere autem tutum ac periculo vacuum: neceſſarium nihilominus puto piiſſimi Principis imaginem, exemplo mortalis picturæ, verborum coloribus expreſſam ad ſempiternam poſterorum memoriã conſecrare, ut deſidiæ atque inertiæ cri-

## ΚΕΦΑΛΑΙΟΝ Ι'.

*Περὶ τοῦ καὶ ἀναγκαίαν εἶναι καὶ ψυχωφελῆ τὴν ἱστορίαν ταύτην.*

Ἐμοὶ δ' εἰ καὶ τὸ λέγειν ἐπάξιόν τι τῆς τἀνδρὸς μακαριότητος ἄπορον τυγχάνει, τό, τε σιωπᾶν ἀσφαλὲς καὶ ἀκίνδυνον, ὅμως ἀναγκαῖον, μιμήσει τῆς θνητῆς σκιαγραφίας τὴν διὰ λόγων εἰκόνα τοῦ θεοφιλοῦς ἀναθεῖναι μνήμῃ, ὄκνου καὶ ἀργίας ἀφοσιουμένους ἔγκλημα. αἰσχυνοίμην γὰρ ἂν ἐμαυτόν, εἰ μὴ

τὰ κατὰ δύναμιν, κἂν σμικρὰ ἢ ταῦτα καὶ εὐτε- A
λῆ, τῷ ὑπερβολῇ εὐλαβείας Θεὸν τετιμηκότι
συμβαλοῦμαι. οἶμαι δὲ καὶ ἄλλως βιωφελές, καὶ
ἀναγκαῖον ἔσεσθαί μοι τὸ γράμμα, περιλαμ-
βάνον βασιλικῆς μεγαλονοίας πράξεις, Θεῷ
τῷ παμβασιλεῖ κεχαρισμένας. ἢ γὰρ οὐκ αἰ-
σχρὸν, Νέρωνος μὲν τὴν μνήμην καὶ τῶν τούτου
μακρῷ χειρόνων δυσσεβῶν τινῶν καὶ ἀθέων τυ-
ράννων, ἀόκνων εὐτυχῆσαι συγγραφέων. οἳ δὴ
φαύλων ὑποθέσεις δραμάτων ἑρμηνείᾳ
κομψῇ καλλωπίσαντες, πολυβίβλοις ἀνέθη-
καν ἱστορίαις. ἡμᾶς δὲ σιωπᾶν, οὓς Θεὸς αὐτὸς B
τοσούτῳ συγκυρῆσαι βασιλεῖ οἷον ὁ σύμπας
οὐχ ἱστόρησεν αἰὼν, εἰς ὄψιν τε καὶ γνῶσιν αὐτοῦ καὶ
ὁμιλίαν ἐλθεῖν κατηξίωσεν.

men à nobis depellamus. Me enim pro-
fectò puderet mei ipsius, nisi omnem
meam industriam ac facultatem, licet
admodum levis sit atq; exigua, in hunc
qui divinum Numen summa observan-
tia veneratus est, conferrem. Sed & ad
communem hominum vitam utile, mi-
hiq; inprimis necessarium hoc opus fo-
re confido, quo generosissimi Impera-
toris res gestæ, summo omnium Impe-
ratori Deo acceptæ, comprehendun-
tur. Quomodo enim turpe non fuerit,
Neronis quidem & aliorum impiorum
tyrannorum qui longè illo deteriores
fuerunt, memoriæ non defuisse diligen-
tissimos Scriptores, qui mala argumen-
ta eleganti sermone exornantes, nume-
rosis historiarum Voluminibus condi-
derunt: nos verò silere, quibus Deus
ejusmodi Imperatorem qualem nulla
unquam ætas vidit nancisci, & in ejus
conspectum, notitiam ac colloquium
pervenire concessit.

## ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

*Ὅτι μόνας τὰς Κωνσταντίνου νῦν ἱστόρησεν θεοφιλεῖς πράξεις.*

Διὸ προσήκοι ἂν εἴπερ τισὶν ἄλλοις, καὶ ἡμῖν
αὐτοῖς, ἀγαθῶν ἄφθονον ἀκοὴν κηρύττειν
ἅπασιν, οἷς ἡ τῶν καλῶν μίμησις, πρὸς τὸν
θεῖον ἔρωτα διεγείρει τὸν πόθον. οἱ μὲν γὰρ βίους C
ἀνδρῶν οὐ σεμνῶν, καὶ πράξεις πρὸς ἠθῶν
βελτίωσιν ἀλυσιτελεῖς. χάριτι τῇ πρός τινας
ἢ ἀπεχθείᾳ. τάχα δέ που καὶ πρὸς ἐπίδει-
ξιν τῆς σφῶν αὐτῶν παιδεύσεως συναγα-
γόντες, κόμπῳ ῥημάτων εὐγλωττίας, αἰσχρῶν
πραγμάτων ὑφηγήσεις οὐκ εἰς δέον ἐξετρα-
γῴδησαν. τοῖς μὴ μεταχεῖν τῶν κακῶν κατὰ
Θεὸν εὐτυχήσασιν, ἔργων οὐκ ἀγαθῶν, ἀλλὰ
λήθῃ καὶ σκότῳ σιωπᾶσθαι ἀξίων, διδάσκα-
λοι καταστάντες. ἐμοὶ δὲ ὁ μὲν τῆς φράσεως
λόγος, εἰ καὶ πρὸς τὸ μέγεθος τῆς τῶν δη-
λουμένων ἐμφάσεως ἐξασθενεῖ, φαιδρυνέσθω
γοῦν ὅμως καὶ ψιλῇ τῇ τῶν ἀγαθῶν πρά- D
ξεων ἀπαγγελίᾳ· ἡ δέ γε τῶν θεοφιλῶν διη-
γημάτων ὑπόμνησις, οὐκ ἀνόνητον. ἀλλὰ καὶ
σφόδρα βιωφελῆ τοῖς τὴν ψυχὴν εὖ παρε-
σκευασμένοις ποριεῖται τὴν ἔντευξιν. τὰ μὲν
οὖν πλεῖστα καὶ βασιλικὰ τοῦ τρισμακα-
ρίου διηγήματα. συμβολάς τε καὶ παρατά-
ξεις πολέμων. ἀριστείας τε καὶ νίκας καὶ τρό-
παια τὰ κατ' ἐχθρῶν, θριάμβους τε ὁπόσους
ἤγαγε. πρός τε τὸ συμφέρον ἑκάστου διω-

## Caput XI.

*Quòd sola Constantini gesta quæ ad pietatem pertinent narraturus sit.*

Quamobrem si cuiquam alteri, no-
bis certè præcipuè convenit, ut
tot ac tanta quæ audivimus bona, iis
nuntiemus, quorum mentes bonorum
operum exemplo ad amorem Dei ex-
citantur. Quippe alii quidem vitam ho-
minum minimè gravium, & res gestas
ad morum emendationem prorsus inu-
tiles, aut gratia, aut odio quorundam,
aut ad doctrinæ suæ ostentationem scri-
bere aggressi, turpissimorum flagitio-
rum narrationem magnifico verborum
apparatu aliter quàm decuit amplifica-
runt: iis qui singulari Dei beneficio ma-
lorum expertes fuerant, pessimorum
operum & quæ oblivione ac tenebris
involvi debuerant, magistros se præ-
bentes. At nobis oratio quidem ipsa
quamvis suscepti operis magnitudini
prorsus impar sit, solà tamen pulcherri-
morum facinorum narratione illustrari
posse videtur. Ipsa verò operum Deo
acceptorum commemoratio, iis utiq;
qui animum rectè comparatum habue-
rint, non inutilem sed inprimis fructuo-
sam lectionem præbitura est. Itaque
quamplurima alia quæ de hoc Principe
narrari possunt: conflictus & prœlia,
fortia facinora atque victorias, tropæa
ac triumphos de hostibus partos, & quę
præterea ad singulorum utilitatem
ab eo constituta sunt: leges ad sub-